UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XXX. De epistola Synodi contra Paulum.

**urn:nbn:de:hbz:466:1-14478**

Visual Library

τηρίων διατριβῆς προεστώς. οὐ μὴν ἀλλὰ καὶ δι' ὑπερβάλλουσαν τῆς εἰς Χριστὸν πίστεως γνησιότητα, πρεσβυτερίου τῆς αὐτόθι παροικίας ἠξιωμένος· οὗτός γέ τοι ἐπισημειουμένων ταχυγράφων, ζήτησιν πρὸς αὐτὸν ἐνστησάμενος, ἣν καὶ εἰς δεῦρο φερομένην ἴσμεν, μόνος ἴσχυσε τῶν ἄλλων κρυψίνουν ὄντα καὶ ἀπατηλὸν φωράσαι τὸν ἄνθρωπον.

## ΚΕΦΑΛΑΙΟΝ Λ΄.

Περὶ τῆς κατὰ Παύλου ἐπιστολῆς τῶν Ἐπισκόπων.

Μίαν δὴ οὖν ἐκ κοινῆς γνώμης οἱ ἐπὶ ταυτὸ συγκεκροτημένοι ποιμένες διαχαράξαντες ἐπιστολὴν εἰς πρόσωπον τοῦ τε Ῥωμαίων Ἐπισκόπου Διονυσίου, καὶ Μαξίμου τοῦ κατ' Ἀλεξάνδρειαν, ἐπὶ πάσας διαπέμπονται τὰς ἐπαρχίας. τὴν αὐτῶν σπουδὴν τοῖς πᾶσι φανερὰν καθιστάντες. καὶ τοῦ Παύλου τὴν διάστροφον ἑτεροδοξίαν. ἐλέγχους τε καὶ ἐρωτήσεις ἃς πρὸς αὐτὸν ἀνακεκινήκασι. καὶ ἔτι τὸν πάντα βίον τε καὶ τρόπον τοῦ ἀνδρὸς διηγούμενοι. ἐξ ὧν μνήμης ἕνεκεν καλῶς ἂν ἔχοι ταύτας αὐτῶν ἐπὶ τοῦ παρόντος διελθεῖν τὰς φωνάς. Ἐπιστολή. Διονυσίῳ καὶ Μαξίμῳ καὶ τοῖς κατὰ τὴν οἰκουμένην πᾶσι συλλειτουργοῖς ἡμῶν Ἐπισκόποις καὶ πρεσβυτέροις καὶ διακόνοις. καὶ πάσῃ τῇ ὑπὸ τὸν οὐρανὸν καθολικῇ ἐκκλησίᾳ, Ἕλενος καὶ Ὑμέναιος καὶ Θεόφιλος καὶ Θεότεκνος καὶ Μάξιμος· Πρόκλος· Νικόμας καὶ Αἰλιανὸς. καὶ Παῦλος καὶ Βωλανὸς καὶ Πρωτογένης καὶ Ἱέραξ καὶ Εὐτύχιος καὶ Θεόδωρος καὶ Μαλχίων καὶ Λούκιος. καὶ οἱ λοιποὶ πάντες οἱ σὺν ἡμῖν παροικοῦντες τὰς ἐγγὺς πόλεις καὶ ἔθνη Ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι. καὶ αἱ ἐκκλησίαι τοῦ Θεοῦ, ἀγαπητοῖς ἀδελφοῖς ἐν Κυρίῳ χαίρειν· τούτοις μετὰ βραχέα, ἐπιλέγουσι ταῦτα. ἐπεστέλλομεν δὲ ἅμα καὶ παρεκαλοῦμεν πολλοὺς καὶ τῶν μακρὰν Ἐπισκόπων, ἐπὶ τὴν θεραπείαν τῆς θανατηφόρου διδασκαλίας. ὥσπερ καὶ Διονύσιον τὸν ἐπὶ τῆς Ἀλεξανδρείας. καὶ Φιρμιλιανὸν τὸν ἀπὸ τῆς Καππαδοκίας, τοὺς μακαρίτας· ὧν ὁ μὲν ἐπέστειλεν εἰς τὴν Ἀντιόχειαν, τὸν ἡγεμόνα τῆς πλάνης οὐδὲ προσρήσεως ἀξιώσας· οὐδὲ πρὸς πρόσωπον γράψας αὐτῷ, ἀλλὰ τῇ παροικίᾳ πάσῃ· ἧς καὶ τὸ ἀντίγραφον ὑπετάξαμεν· ὁ δὲ Φιρμιλιανὸς καὶ δὶς ἀφικόμενος, κατέγνω μὲν τῶν ὑπ' ἐκείνου καινοτομουμένων, ὡς ἴσμεν καὶ μαρτυ-

A Christianæ sinceritatem, in ejus loci ecclesia Presbyterii honorem erat consecutus. Hic igitur adversùs Paulum suscepta disputatione, excipientibus cuncta Notariis (quæ quidem disputatio etiamnum exstat) occultos hominis sensus fraudesque detegere solus omnium valuit.

## Caput XXX.

*De epistola Synodi contra Paulum.*

B Omnes itaque in unum congregati Antistites, unam ex communi sententia ad Dionysium Romanæ urbis Episcopum, & ad Maximum Alexandrinum scripserunt epistolam: eamque ad omnes deinde Provincias transmiserunt: tum ut studium suum ac diligentiam omnibus declararent; tum ut perversum Pauli dogma, confutationes quoque & disputationes adversus illum habitas; cunctamque hominis vitam ac mores exponerent. Porrò ipsamet illorum verba, ad perpetuam posterorum memoriam non incommodum fuerit hic referre.

Hoc refert Niceph. c. 29. 30. l. 6.

C Dionysio & Maximo, & omnibus per universum orbem comministris nostris; Episcopis, Presbyteris & Diaconis; & universæ Ecclesiæ Catholicæ quæ sub cælo est, Helenus & Hymenæus, Theophilus, Theotecnus, Maximus, Proculus, Nicomas, Ælianus, Paulus, Bolanus, Protogenes, Hierax, Eutychius, Theodorus & Malchion & Lucius; & reliqui omnes qui nobiscum sunt vicinarum urbium & provinciarum Episcopi, Presbyteri ac Diaconi; & Ecclesiæ Dei, carissimis fratribus in Domino salutem. Paucis deinde in-
D terjectis hæc subjungunt: Scripsimus etiam ad complures Episcopos longius dissitos: eosque hortati sumus ut ad exitialis doctrinæ morbum curandum accederent. Nam & ad Dionysium Alexandrinum, & ad Firmilianum Cappadociæ Antistitem, beatæ recordationis viros, literas dedimus. Quorum ille scripsit quidem Antiochiam: sed erroris ducem ne salutatione quidem dignatus est; neque ad eum nominatim, verùm ad universam Antiochensium Ecclesiam literas suas direxit, quarum etiam exemplum hic subjecimus. Firmilianus verò cùm bis Antiochiam venisset, damnavit quidem dogmatis ab illo invecti novitatem, ut te-

stamur nos qui adfuimus, & alii plures perinde ac nos optimè norunt. Sed cùm ille mutaturum se sententiam promisisset; credens ei Firmilianus, speransque sine ullo religionis nostræ probro atque dispendio rem optimè posse constitui, distulit sententiam suam; deceptus scilicet ab homine qui Deum ac Dominum suum negabat, & qui fidem quam antea profitebatur violaverat. Nunc quoque Antiochiam venturus erat Firmilianus: & jam Tarsum usque pervenerat. Quippe improbitatem hominis Deum negantis antea fuerat expertus. Sed cum nos jam convenissemus; interea loci dum illum accersimus, dum ejus adventum exspectamus, abiit è vita. Deinde paulo post, cujusmodi fuerit hominis vita, exponunt his verbis: Sed quoniam à fidei regula recedens, ad spuriam & adulterinam doctrinam se transtulit, hominis ab ecclesia alieni actus examinare nihil attinet: neque quòd cum antea pauper ac mendicus esset, nec ullas omninò facultates aut à parentibus relictas accepisset, aut artis ullius exercitio sibi comparasset, nunc ad incredibilem opulentiam pervenit, per scelera ac sacrilegia, fratrumque concussiones: dum injuriâ affectos decepit, promittens quidem sese illis, accepta mercede opem laturum: fallens autem ipsos, & ex facilitate litigantium, qui ut negotio liberentur quidvis dare parati sunt, lucrum inaniter captans; & pietatem quæstum esse existimans. Neque quòd fastu & arrogantia supra modum elatus sæculares gerit dignitates, & Ducenarius vocari quàm EPISCOPUS mavult: per forum magnificè incedens; epistolas legens ac dictans inter ambulandum palam ac publicè; stipatusque maxima hominum multitudine, partim præeuntium, partim subsequentium: adeo ut ex illius fastu & arrogantia, incredibilis invidia odiumq; multorum adversus fidem nostram conflatum sit. Neq; item attinet examinare ambitiosam hominis vanitatem in ecclesiasticis conventibus, quam omni studio consectatur: nihil aliud quam inanem gloriam captans, & pompam affectans, atq; hujusmodi artibus animos imperitorum perterrefaciens. Nam & tribunal & sublimem thronum, non ut Christi Discipulus sibi ipse construxit: & secretum, perinde ac sæculares Magistratus, ita appellatum habuit. Adhæc femur manu percutere, & tribunal pedibus pulsare

A ροῦμεν οἱ παραγινόμενοι, καὶ ἄλλοι πολλ-
νίσασιν· ἐπαγγειλαμένου δὲ μεταθήσεσ-
στεύσας καὶ ἐλπίσας ἄνευ τινὸς περὶ τὸν λ-
λοιδορίας τὸ πρᾶγμα εἰς δέον καταστ-
ἀνεβάλετο παρακρουσθεὶς ὑπ' αὐτοῦ τὸ-
Θεὸν τὸν ἑαυτοῦ καὶ Κύριον ἀρνουμένου, κ-
πίστιν ἣν καὶ αὐτὸς πρότερον εἶχε μὴ φυ-
ξαντος· ἔμελλε δὲ καὶ νῦν ὁ Φιρμιλιαν-
τὴν Ἀντιόχειαν διαβήσεσθαι καὶ μέχρι γε Τ-
σῶν ἧκεν, ἅτε τῆς ἀρνησιθέου αὐτοῦ κα-
πεῖραν εἰληφώς· ἀλλὰ γὰρ μεταξὺ συν-
B ληλυθότων ἡμῶν καὶ καλούντων καὶ ἀναμε-
ἄχρις ἂν ἔλθῃ, τέλος ἔσχε τοῦ βίου. μεθ-
δ' αὖθις τὸν βίον τοῦ αὐτοῦ οἵας ἐτύγχ-
ἀγωγῆς, διαγράφουσιν ἐν τούτοις. ἀπο-
ἀποστὰς τοῦ κανόνος ἐπὶ κίβδηλα καὶ νόθ-
δόγματα μετελήλυθεν, οὐδὲν δεῖ τοῦ ἔξ-
τος τὰς πράξεις κρίνειν· οὐδὲ ὅτι πρότ-
πένης ὢν καὶ πτωχὸς· καὶ μήτε παρὰ πατ-
παραλαβὼν μηδεμίαν εὐπορίαν, μήτ-
τέχνης ἤ τινος ἐπιτηδεύματος κτησάμ-
νῦν εἰς ὑπερβάλλοντα πλοῦτον ἐλήλακε-
ἀνομιῶν καὶ ἱεροσυλιῶν, καὶ ὧν αἰτεῖ κα-
C τοὺς ἀδελφοὺς, καταβραβεύων τοὺς ἀδ-
μένους καὶ ὑπισχνούμενος βοηθήσειν μ-
ψευδόμενος δὲ καὶ τούτους, καὶ μάτην κ-
πούμενος τὴν τῶν ἐν πράγμασιν ὄντων-
μότητα πρὸς τὸ διδόναι ὑπὲρ ἀπαλ-
γῆς τῶν ἐνοχλούντων. πορισμὸν ἡγούμ-
τὴν θεοσέβειαν· οὔτε ὡς ὑψηλὰ φρον-
ὑπερῆρται κοσμικὰ ἀξιώματα ὑποδυ-
νος. καὶ Δουκηνάριος μᾶλλον ἢ Ἐπίσκοπος
λων καλεῖσθαι· καὶ σοβῶν κατὰ τὰς ἀγορὰς
πιστολὰς ἀναγινώσκων καὶ ὑπαγορεύων
βαδίζων δημοσίᾳ καὶ δορυφορούμενος
D μὲν προπορευομένων, τῶν δὲ ἐφεπομ-
πολλῶν τὸν ἀριθμόν. ὡς καὶ τὴν πίστιν φ-
νεῖσθαι καὶ μισεῖσθαι διὰ τὸν ὄγκον αὐτοῦ καὶ τ-
ὑπερηφανίαν τῆς καρδίας. οὔτε τὴν ἐν ταῖς
κλησιαστικαῖς συνόδοις τερατείαν, ἣν μηχ-
νᾶται δοξοκοπῶν καὶ φαντασιοκοπῶν. καὶ τ-
τῶν ἀκεραιοτέρων ψυχὰς τοῖς τοιούτοις
πλήττων βῆμα μὲν καὶ θρόνον ὑψηλὸν ἑαυ-
κατασκευασάμενος, οὐχ ὡς Χριστοῦ μαθ-
τής, σήκρητον δὲ, ὥσπερ οἱ τοῦ κόσμου ἄρχ-
τες, ἔχων τε καὶ ὀνομάζων· παίων τε τῇ χ-
τὸν μηρὸν, καὶ τὸ βῆμα ἀράττων τοῖς πο-

καὶ τοῖς μὴ ἐπαινοῦσι, μηδὲ ὥσπερ ἐν τοῖς θεάτροις κατασείουσι ταῖς ὀθόναις, μηδ' ἐκβοῶσί τε καὶ ἀναπηδῶσι κατὰ τὰ αὐτὰ τοῖς ἀμφ' αὐτὸν στασιώταις ἀνδράσι τε καὶ γυναίοις, ἀκόσμως οὕτως ἀκροωμένοις. τοῖς δ' οὖν ὡς ἐν οἴκῳ Θεοῦ σεμνοπρεπῶς καὶ εὐτάκτως ἀκούουσιν, ἐπιτιμῶν καὶ ἐνυβρίζων· καὶ εἰς τοὺς ἀπελθόντας ἐκ τοῦ βίου τούτου παροινῶν ἐξηγητὰς τοῦ λόγου, φορτικῶς ἐν τῷ κοινῷ, καὶ μεγαλορρημονῶν περὶ ἑαυτοῦ, καθάπερ οὐκ Ἐπίσκοπος, ἀλλὰ σοφιστὴς καὶ γόης· ψαλμοὺς δὲ τοὺς μὲν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν παύσας, ὡς δὴ νεωτέρους καὶ νεωτέρων ἀνδρῶν συγγράμματα· εἰς ἑαυτὸν δὲ ἐν μέσῃ τῇ ἐκκλησίᾳ, τῇ μεγάλῃ τοῦ Πάσχα ἡμέρᾳ ψαλμῳδεῖν γυναῖκας παρασκευάζων, ὧν καὶ ἀκούσας ἄν τις φρίξειεν. οἷα καὶ τοὺς θωπεύοντας αὐτὸν Ἐπισκόπους τῶν ὁμόρων ἀγρῶν τε καὶ πόλεων καὶ πρεσβυτέρους, ἐν ταῖς πρὸς τὸν λαὸν ὁμιλίαις καθίησι διαλέγεσθαι. τὸν μὲν γὰρ υἱὸν τοῦ Θεοῦ οὐ βούλεται συνομολογεῖν ἐξ οὐρανοῦ κατεληλυθέναι, ἵνα τι προλαβόντες τῶν μελλόντων γραφήσεσθαι θῶμεν· καὶ τοῦτο οὐ λόγῳ ψιλῷ ῥηθήσεται, ἀλλ' ἐξ ὧν ἐπέμψαμεν ὑπομνημάτων δείκνυται πολλαχόθεν. οὐχ ἥκιστα δὲ ὅπου λέγει Ἰησοῦν Χριστὸν κάτωθεν. οἱ δὲ εἰς αὐτὸν ψάλλοντες καὶ ἐγκωμιάζοντες ἐν τῷ λαῷ, ἄγγελον τὸν ἀσεβῆ διδάσκαλον ἑαυτῶν ἐξ οὐρανοῦ κατεληλυθέναι λέγουσι. καὶ ταῦτα οὐ κωλύει, ἀλλὰ καὶ λεγομένοις πάρεστιν ὁ ὑπερήφανος. τὰς δὲ συνεισάκτους αὐτοῦ γυναῖκας ὡς Ἀντιοχεῖς ὀνομάζουσι, καὶ τῶν περὶ αὐτὸν πρεσβυτέρων καὶ διακόνων, οἷς καὶ τοῦτο καὶ τὰ ἄλλα ἁμαρτήματα ἀνίατα ὄντα συγκρύπτει, συνειδὼς καὶ ἐλέγξας ὅπως αὐτοὺς ὑπόχρεως ἔχῃ, περὶ ὧν λόγοις καὶ ἔργοις ἀδικεῖ, μὴ τολμῶντας κατηγορεῖν τῷ καθ' ἑαυτοὺς φόβῳ· ἀλλὰ καὶ πλουσίους ἀπέφηνεν· ἐφ' ᾧ πρὸς τῶν τὰ τοιαῦτα ζηλούντων φιλεῖται καὶ θαυμάζεται· τί ἂν ταῦτα γράφοιμεν; ἐπιστάμεθα δὲ ἀγαπητοὶ ὅτι τὸν Ἐπίσκοπον καὶ τὸ ἱερατεῖον ἅπαν παράδειγμα εἶναι δεῖ τῷ πλήθει πάντων καλῶν ἔργων· καὶ οὐδὲ ἐκεῖνο ἀγνοοῦμεν, ὅσοι ὑπὸ τοῦ συνεισάγειν ἑαυτοῖς γυναῖκας ἐξέπεσον. οἱ δ' ὑπωπτεύθησαν· ὡς εἰ καὶ δοίη τις αὐτῷ τὸ μηδὲν

A solitus. Eos verò qui non laudarent, nec ut in theatris fieri solet oraria concuterent, neque una cum fautoribus ipsius, viris ac mulierculis indecorè auscultantibus exclamarent atque exsilirent; sed cum gravitate ac modestia sicut in domo Dei decet audirent, increpabat & contumeliis afficiebat. Et alios quidem legis nostræ Doctores jam vita functos petulanter in concione lacerabat: de se autem ipse magnificè loquebatur, non ut Episcopus, sed ut Sophista quidam & impostor. Quinetiam Psalmos in honorem Domini Jesu Christi cani solitos,
B quasi novellos & à recentioribus hominibus compositos abolevit. Mulieres autem magno Paschæ die in media Ecclesia Psalmos quosdam canere ad sui ipsius laudem instituit; quod quidem audientibus horrorem meritò incusserit. Episcopos quoque vicinorum pagorum & civitatum, nec non & Presbyteros assentatores suos submisit, qui in suis ad populum concionibus eadem de ipso prædicarent. Etenim Filium Dei è cælo descendisse, nobiscum confiteri renuit, ut aliquid obiter præmittamus ex iis quæ infra uberius exponentur. Neque id simplici assertione nostra, sed ex ipsis quæ ad vos misimus gestis non
C semel declaratur: maximè verò ubi dicit Jesum Christum è terra ortum fuisse. At verò illi qui in ejus honorem Psalmos canunt, & coram populo eum prædicant: ipsum quem impietatis Doctorem habuerunt, Angelum esse dicunt è cælo delapsum. Atque hæc ille omnium hominum superbissimus non prohibet; sed interest ipse cum dicuntur. Quid hic referre attinet subintroductas ut Antiocheni vocant mulieres, tam ipsius quàm presbyterorum ejus ac diaconorum? In quibus non hoc solum,
D sed etiam alia insanabilia crimina, quorum conscius est & quorum ipsos reos esse convicit, nihilominus tegit ac dissimulat, ut illos sibi obnoxios habeat: utque dum sibi ipsis metuunt, ipsum ob ea quæ impiè agit ac loquitur accusare non audeant. Ad hæc divitiis eos locupletavit. Cujus rei causâ ab iis qui talia concupiscunt amatur atque suspicitur. Quid inquam attinet hæc scribere? Scimus utique fratres dilectissimi, Episcopum & universum clerum, bonorum operum exemplum multitudini præbere debere. Neque illud ignoramus, quot ex ejusmodi mulierum contubernio partim in præceps lapsi sint, partim in suspicionem venerint. Itaque etiamsi quis concesserit nihil ab eo turpe

committi, suspicionem tamen quæ inde nasci solet, vitari oportebat; ne quenquam offenderet, neve aliquos ad imitationem sui provocaret. Quo enim modò increpabit alium & admonebit ut à frequentiori mulieris consuetudine abstineat, ne fortè corruat sicut scriptum est: Is qui unam quidem jam dimisit, duas verò ætate florentes & forma conspicuas secum habet, & quocumque proficiscitur circumducit; idque delicijs diffluens & epulis sese ingurgitans. His de causis omnes quidem apud se privatim ingemiscunt atq; suspirant: sed potentiam ejus ac tyrannidem adeò reformidant, ut accusare illum non audeant. Verum de his sicut antea diximus, examinaverit fortasse aliquis & in judicium vocaverit hominem Catholicæ professionis, nobisque fidei ac ministerii societate conjunctum. Ab hoc verò qui prodito atque ejurato religionis nostræ mysterio ad exsecrandam transgressus hæresim Artemæ (quidni enim parentem illius vobis tandem indicemus?) in ea se plurimùm jactavit: ab hoc, inquam, rationem eorum omnium exigendam esse non existimamus. In fine autem epistolæ hæc adjiciunt: Hunc igitur Deo bellum indicentem, nec cedere volentem, cum à communione nostra abdicassemus, necesse habuimus alium ejus loco Ecclesiæ Catholicæ episcopum ordinare, non absque divina ut credimus providentia: Demetriani scilicet beatæ memoriæ Episcopi, qui ante hunc magna cum laude eandem rexit ecclesiam, filium Domnum; virum omnibus quæ episcopum decent dotibus oxornatum. Quod quidem idcirco vobis significavimus, ut & ad eum scribatis, & ab eo communicatorias litteras accipiatis. Hic verò ad Artemam scribat, si lubet; & qui Artemam sectantur, cum eo communicent. Et hæc quidem à nobis hic relata sint. Igitur cum Paulus à recta fide simul & episcopatu excidisset, Domnus ut dictum est administrationem Antiochensis ecclesiæ suscepit. Sed cùm Paulus è domo ecclesiæ nullatenus excedere vellet; interpellatus Imperator Aurelianus rectissimè hoc negotium dijudicavit, iis domum tradi præcipiens, quibus Italici Christianæ religionis Antistites & Romanus episcopus scriberent. Hoc modo vir suprà memoratus cum summo dedecore per sæcularem potestatem ab ecclesia exturbatus est. Ac tum quidem erga nostros

A ἀσελγὲς ποιεῖν, ἀλλὰ τήν γε ὑπόνοιαν τὴν ἐκ τοῦ τοιούτου πράγματος φυομένην, ἐ... εὐλαβηθῆναι, μή τινα σκανδαλίσῃ, τοῖς καὶ μιμεῖσθαι προτρέψηται. πῶς γὰρ ἂν ἐπιπλήξειεν ἢ νουθετήσειεν ἕτερον, μὴ συγκαβαίνειν ἐπιπλέον εἰς ταυτὸν γυναικὶ μὴ ὀλισθῇ φυλαττόμενον ὡς γέγραπται. ὅς τις μίαν μὲν ἀπέστησεν ἤδη, δύο δὲ ἀκμαζούσας καὶ εὐπρεπεῖς τὴν ὄψιν ἔχει μεθ' ἑαυτοῦ. κἂν ἀπίῃ ποῦ, συμπεριφέρει. καὶ ταῦτα τρυφῶν καὶ ὑπερεμπιμπλάμενος. ὧν ἕνεκα στενάζουσι μὲν καὶ ὀδύρονται πάντες καθ' ἑαυτούς. οὕτω δὲ τὴν τυραννίδα καὶ δυναστείαν αὐτοῦ πεφόβηνται, ὥστε κατηγορεῖν μὴ τολμᾶν. ἀλλὰ ταῦτα μὲν, ὡς προειρήκαμεν, εὐθύνειεν ἄν τις τὸν ἄνδρα τὸ γοῦν φρόνημα καθολικὸν ἔχοντα, καὶ συγκαταλεγόμενον ἡμῖν. τὸν δὲ ἐξορχησάμενον τὸ μυστήριον καὶ ἐμπομπεύοντα τῇ μιαρᾷ αἱρέσει τῇ Ἀρτεμᾶ (τί γὰρ οὐ χρὴ μόλις τὸν πατέρα αὐτοῦ δηλῶσαι) οὐδὲν δεῖν ἡγούμεθα τούτων τοὺς λογισμοὺς ἀπαιτεῖν. εἶτ' ἐπὶ τέλει τῆς ἐπιστολῆς, ταῦτ' ἐπιλέγουσιν. ἠναγκάσθημεν οὖν ἀντιτασσόμενον αὐτὸν τῷ Θεῷ καὶ μὴ εἴκοντα ἐκκηρύξαντες, ἕτερον ἀντ' αὐτοῦ τῇ καθολικῇ ἐκκλησίᾳ καταστῆσαι Ἐπίσκοπον Θεοῦ προνοίᾳ ὡς πεπείσμεθα, τὸν τοῦ μακαρίου Δημητριανοῦ καὶ ἐπιφανῶς προστάντος πρὸ τούτου τῆς αὐτῆς παροικίας υἱὸν Δόμνον, ἅπασι τοῖς πρέπουσιν Ἐπισκόπῳ καλοῖς κεκοσμημένον. ἐδηλώσαμέν τε ὑμῖν, ὅπως τούτῳ γράφητε, καὶ τὰ παρὰ τούτου κοινωνικὰ δέχησθε γράμματα. τῷ δὲ Ἀρτεμᾷ οὗτος ἐπιστελλέτω. καὶ οἱ τὰ Ἀρτεμᾶ φρονοῦντες, τούτῳ κοινωνείτωσαν. καὶ ταῦτα μὲν ἐνταυθοῖ κείσθω. τοῦ δὴ οὖν Παύλου σὺν καὶ τῆς πίστεως ὀρθοδοξίᾳ τῆς Ἐπισκοπῆς ἐκπεπτωκότος, Δόμνος, ὡς εἴρηται, τὴν λειτουργίαν τῆς κατὰ Ἀντιόχειαν ἐκκλησίας διεδέξατο. ἀλλὰ γὰρ μηδαμῶς ἐκστῆναι τοῦ Παύλου τοῦ τῆς ἐκκλησίας οἴκου θέλοντος. βασιλεὺς ἐντευχθεὶς Αὐρηλιανὸς, αἰσιώτατα περὶ τοῦ πρακτέου διείληφε. τούτοις νεῖμαι προστάττων τὸν οἶκον, οἷς ἂν οἱ κατὰ τὴν Ἰταλίαν καὶ τὴν Ῥωμαίων πόλιν Ἐπίσκοποι τοῦ δόγματος ἐπιστέλλοιεν. οὕτω δῆτα ὁ προδηλωθεὶς ἀνὴρ μετὰ τῆς ἐσχάτης αἰσχύνης, ὑπὸ τῆς κοσμικῆς ἀρχῆς ἐξελαύνεται τῆς ἐκκλησίας. τοιοῦτος μὲν γέ τις ἦν τ...

A τοιῶσδε περὶ ἡμᾶς ὁ Αὐρηλιανὸς προϊούσης δ' αὐτῷ τῆς ἀρχῆς, ἀλλοῖόν τι περὶ ἡμῶν φρονήσας, ἤδη τισὶ βουλαῖς ὡς ἂν διωγμὸν καθ' ἡμῶν ἐγείρειεν ἀνεκινεῖτο· πολύς τε ἦν ὁ παρὰ πᾶσι περὶ τούτου λόγος. μέλλοντα δὲ ἤδη καὶ σχεδὸν εἰπεῖν τοῖς καθ' ἡμῶν γράμμασιν ὑποσημειούμενον, θεία μέτεισιν δίκη. μονονουχὶ ἐξ ἀγκώνων τῆς ἐγχειρήσεως αὐτὸν ἀποδεσμοῦσα. λαμπρῶς τε τοῖς πᾶσι συνορᾶν παριστῶσα, ὡς οὔποτε γένοιτ' ἂν ῥᾳστώνη τοῖς τοῦ βίου ἄρχουσι κατὰ τῶν τοῦ Χριστοῦ ἐκκλησιῶν, μὴ οὐχὶ τῆς ὑπερμάχου χειρὸς θεία καὶ οὐρανίῳ κρίσει, B παιδείας ἕνεκα καὶ ἐπιστροφῆς, καθ' οὓς ἂν αὐτὴ δοκιμάζοι καιρούς, τοῦτ' ἐπιτελεῖσθαι συγχωρούσης. ἔτεσι γοῦν ἓξ κρατήσαντα τὸν Αὐρηλιανόν, διαδέχεται Πρόβος· καὶ τοῦτον δήπου τοῖς ἴσοις ἐπικατασχόντα, Κάρος ἅμα τοῖς παισὶ Καρίνῳ καὶ Νουμεριανῷ διαδέχεται· πάλιν αὖ καὶ τούτων οὐδ' ὅλοις τρισὶν ἐνιαυτοῖς διαγενομένων, μέτεισι τὰ τῆς ἡγεμονίας εἰς Διοκλητιανὸν καὶ τοὺς μετ' αὐτὸν εἰσποιηθέντας· ἐφ' ὧν ὁ καθ' ἡμᾶς συντελεῖται διωγμός, καὶ C ἡ κατ' αὐτὸν τῶν ἐκκλησιῶν καθαίρεσις. ἀλλὰ γὰρ μικρῷ τούτου πρότερον τὸν ἐπὶ Ῥώμης Ἐπίσκοπον Διονύσιον ἔτεσιν ἐννέα διελθόντα τὴν λειτουργίαν, διαδέχεται Φήλιξ.

sic affectus erat Aurelianus. Processu verò temporis aliter de nobis sentiens, quorumdam consiliis cœpit impelli ut persecutionem adversus nostros commoveret. Jamque ea de re multus ubique rumor spargebatur. Sed eum paratum jam, & compositis contra nos edictis ut ita dixerim subscribentem, ulta est divina justitia: quasi constricto cubito conatum ejus reprimens: simulq; omnibus apertissimè ostendens, nihil unquam hujus mundi principibus adversus Christi ecclesias licere, nisi propugnatrix Dei dextera arcano quodam ac cælesti judicio ad castigationem & emendationem nostram, quibus ipsi visum est temporibus id fieri permiserit. Porrò cùm Aurelianus sexennio Imperium tenuisset, in ejus locum successit Probus. Qui totidem annis Imperii administratione perfunctus, Carum cum Carino & Numeriano filiis successorem reliquit. Hi cùm ne triennium quidem in Principatu explessent, rerum summa delata est Diocletiano, iisque qui postea ad Imperii societatem adsciti sunt. Quorum temporibus maxima illa nostrorum persecutio, simulque ecclesiarum eversio perpetrata est. Ceterùm paulò ante hæc tempora mortuo Dionysio qui novem annis Romanæ urbis episcopatum administrarat, Felix in ejus locum substitutus est.

## ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

Περὶ τῆς τῶν Μανιχαίων ἑτεροδόξου διαστροφῆς ἄρτι τότε ἀρξαμένης.

ἘΝ τούτῳ καὶ ὁ Μανεὶς τὰς φρένας, ἐπώνυμός τε τῆς δαιμονιώσης αἱρέσεως, τὴν τοῦ λογισμοῦ παρατροπὴν καθωπλίζετο. τοῦ δαίμονος αὐτοῦ δήπου τοῦ θεομάχου Σατανᾶ ἐπὶ D λύμῃ πολλῶν τὸν ἄνδρα προβεβλημένου. βάρβαρος δῆτα τὸν βίον αὐτῷ λόγῳ καὶ τρόπῳ, τήν τε φύσιν δαιμονικός τις ὢν καὶ μανιώδης· ἀκόλουθα τούτοις ἐγχειρῶν, Χριστὸν αὐτὸν μορφάζεσθαι ἐπειρᾶτο. τοτὲ μὲν τὸν παράκλητον καὶ αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον αὐτὸς ἑαυτὸν ἀνακηρύττων, καὶ τυφούμενός γε ἐπὶ τῇ μανίᾳ. τοτὲ δ' οἷα Χριστός, μαθητὰς δώδεκα κοινωνοὺς τῆς καινοτομίας αἱρούμενος. δόγματα γε μὴν ψευδῆ καὶ ἄθεα ἐκ μυρίων τῶν πρόπαλαι ἀπεσβηκυιῶν αἱρέσεων συμπεφορημένα καττύσας, ἐκ τῆς Περσῶν ἐπὶ τὴν καθ' ἡμᾶς οἰκουμένην

## Caput XXXI.

*De Manichæorum errore qui tunc primum exortus est.*

Iisdem temporibus ille meritò dictus Manes, id est, furiosus, qui dæmoniacam hæresim nominis sui condidit; armatus insania, ab adversario Dei Satana ad multorum hominum perniciem productus est. Hic in universa vivendi ratione cùm sermone ipso tum moribus barbarus, & suapte natura furiosus ac dæmoniacus; his consentanea aggressus, seipsum Christum fingere instituit. Et nunc quidem Paracletum se, ipsumque Spiritum sanctum esse prædicabat: præter insaniam superbia etiam elatus. Nunc verò quasi Christus, duodecim discipulos novi dogmatis consortes eligebat. Cum igitur falsa & impia dogmata ex variis hæresibus jampridem exstinctis hinc inde collecta consarcinasset, ea tanquam lethale quoddam virus ex Perside

Huc refer Niceph. l. 6. c. 31. 32.